UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Capvt XXX. Basilii diaconi, reliquorumque monachorum supplicatio.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

viuificatricem esse dixerit, ipso Domino & Deo pronun- 
Ioan.6.v.63 tiante: *Spiritus est qui viuificat, caro nihil prodest*: anathema
Ioan.4.v.24 sit. *Spiritus est Deus*, at non pronuntiatum est. Si quis ergo Deum Verbum carnaliter secundum substantiam carnem factum esse dicat, hoc autem modo & specialiter custodit, & maxime in Domino Christo post resurrectionem
Luc.24. v.39. suam discipulis suis dicente: *Palpate & videte, quia spiritus ossa & carnem non habet, sicut me videtis habere*: anathema sit.

XII.

Si quis confitens passiones carnis, eas quoque tamquam Verbo Dei tribuit, quas etiam carni, in qua factus est, adhibuerit, non discernens dignitatem naturarum; anathema sit.

## CAPUT XXX.

*Basilii diaconi, reliquorumque monachorum supplicatio.*

*Piissimis & honoratissimis, Deoque & hominibus dilectis, Christianis imperatoribus, Flauiis Theodosio & Valentiniano, Basilii diaconi & archimandritæ, & Thalassii lectoris & monachi, reliquorumque Christianorum monachorum supplicatio, seu exhortatio.*

I.

IMMENSA Dei benignitas & clementia, quæ mortalium genus suis donis & bonis nunquam cumulare desinit, in omnibus & super omnia conspicua est. Porro autem inter alia Dei beneficia nō immerito censenda est veritatis cognitio, & odium falsæ cognitionis: quo nimirum explorata perspectaque habeamus fidei mysteria, iam inde ab initio a sanctis

## ΚΕΦΑΛΑΙΟΝ λʹ.

Δέησις Βασιλείου διακόνου καὶ λοιπῶν μοναχῶν.

Τοῖς εὐσεβεστάτοις, καὶ τιμηθεῖσι, καὶ τιμωμένοις παρὰ θεῷ καὶ ἀνθρώποις, χριστιανοῖς βασιλεῦσι, * Φλαυίοις Θεοδοσίῳ καὶ Οὐαλεντινιανῷ, δέησις, εἴτουν παράκλησις παρὰ Βασιλείου διακόνου καὶ ἀρχιμανδρίτου, καὶ Θαλασσίου ἀναγνώστου καὶ μονάζοντος, καὶ λοιπῶν χριστιανῶν μοναχῶν.

αʹ.

Η ΦΙΛΑΝΘΡΩΠΙΑ τοῦ θεοῦ, ἡ * ἀναριθμήτων παρὰ ἀνθρώποις καλῶν μετουσίαν δωρησαμένη τε καὶ δωρουμένη τῇ φύσει τῶν ἀνθρώπων, ἐν πᾶσι, καὶ ἐπὶ πᾶσιν ἐστίν. ἐν τούτοις δὲ τοῖς ἀπὸ τοῦ θεοῦ δώροις ἔνεστιν ἡ ἀληθινὴ γνῶσις, καὶ τὸ μῖσος τῆς ψευδωνύμου γνώσεως· ὥστε εἰδέναι ἡμᾶς τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τῶν

ANNO CHRISTI 431.

ἀποστόλων, καὶ μαρτύρων, καὶ ὁμολογητῶν, καὶ ἐπισκόπων ἁγίων, συνεργούντων καὶ τῶν εὐσεβεστάτων βασιλέων, παραδοθεῖσαν τῇ καθολικῇ ἐκκλησίᾳ πίστιν· πρῶτον ὑπὸ Πέτρου τοῦ ἀποστόλου, τοῦ πρωτοστάτου, εἰπόντος, κατὰ ἀποκάλυψιν καὶ γνῶσιν καὶ ὁμολογίαν καὶ παράδοσιν τοῖς μετὰ ταῦτα· ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· Ἰακώβου ἀποστόλου καὶ ἀρχιεπισκόπου, Ἰωάννου ἀποστόλου καὶ εὐαγγελιστοῦ, καὶ λοιπῶν εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, καὶ πάντων τῶν πιστευσάντων καὶ πιστευόντων τῇ ὁμοουσίῳ τριάδι· Εἰρηναίου, Γρηγορίου τοῦ μεγάλου ἐπισκόπου Νεοκαισαρείας· τῆς ἁγίας συνόδου τῶν ρπ΄. ἐπισκόπων, ἐν Ἀντιοχείᾳ συναθροισθείσης κατὰ Παύλου τοῦ Σαμοσατέως, ἥτις καθεῖλεν αὐτὸν διὰ τὴν ἀσέβειαν αὐτοῦ, διὰ τὸ μὴ ὁμολογεῖν τὸν Χριστὸν φύσει θεόν, καὶ υἱὸν θεοῦ πατρός· τῆς ἐν Νικαίᾳ μεγάλης καὶ ἁγίας συνόδου τῶν τιη΄. ἐπισκόπων, τῆς βεβαιωσάσης τὸν ὅρον τῶν ἐν Ἀντιοχείᾳ· Βασιλείου καὶ Γρηγορίου ἀδελφῶν ἐπισκόπων, Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας, Ἐφραὶμ τοῦ Σύρου, Γρηγορίου ἐπισκόπου, Ἄμμωνος ἐπισκόπου, Οὐϊταλίου ἐπισκόπου, Ἀμφιλοχίου, Παύλου, Ἀντιόχου, Εὐσταθίου, Μεθοδίου, Ὀπτίμου, Λεπορίου, Ἀμβροσίου Μεδιολανῶν· ὅλης τῆς ἐν τῇ Ἀφρικῇ συνόδου· Ἰωάννου, Σευηριανοῦ, Ἀττικοῦ ἐπισκόπου, Κυρίλλου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, τοῦ νῦν ζῶντος, καὶ τὸν νόμον τῆς ἡμετέρας εὐσεβείας ἐξακολουθοῦντος. οὐδεὶς μὲν οὖν ἀνθρώπων δύναται πάντας τοὺς πιστοὺς ἐξαριθμήσασθαι, τοὺς πιστεύσαντας καὶ πιστεύοντας εἰς Χρι-

apoſtolis, martyribus, confeſſoribus & epiſcopis, conſpirantibus ad id quoque religioſiſſimis principibus, catholicæ eccleſiæ tradita: & primo quidem ab apoſtolorum principe Petro, ſecundum cognitionem quam diuinitus perceperat, hanc palam confitente, poſteritatique tradente: *Tu es Christus filius Dei viui:* (Matth. 16. v. 16.) a Iacobo apoſtolo & archiepiſcopo, Ioanne apoſtolo & euangeliſta, reliquiſque euangeliſtis, martyribus, confeſſoribus, epiſcopis, atque ab omnibus, qui conſubſtantiali trinitati crediderunt, & credunt; ab Irenæo, Gregorio magno Neocæſareæ epiſcopo; a ſancta Synodo Antiochiæ contra Paulum Samoſatenum congregata, quæ centum octoginta numero patres cõplexa, illum propter ſuam impietatem (negabat enim Chriſtum natura eſſe Deum, & Dei Patris filium) exauctorauit; a magna & ſancta trecẽtorum decem & octo epiſcoporum Synodo apud Nicæam habita, quæ ſententiam eorum qui Antiochiæ contra Paulum Samoſatenum conuenerant, confirmauit & approbauit; a Baſilio & Gregorio epiſcopis & fratribus, Athanaſio eccleſiæ Alexandrinæ epiſcopo, Ephræm Syro, Gregorio epiſcopo, Ammone epiſcopo, Vitalio epiſcopo, Amphilochio, Paulo, Antiocho, Euſtathio, Methodio, Optimo, Leporio, Ambroſio Mediolanẽſium epiſcopo; ab vniuerſa Synodo Africana, Ioanne, Seueriano, Attico epiſcopo, Cyrillo Alexandriæ epiſcopo, qui etiamnum ſuperſtes noſtræ pietatis legem obſeruat. Denique nullus hominum facile enumerauerit omnes fideles, qui crediderunt & credunt in Chri-

ſtum Dei filium, quod verus ſit Deus. Neque enim, poſteaquam noſtri cauſa homo factus eſt, id quod erat, hoc eſt, Deus eſſe non deſinens (quemadmodum & veſtra quoque pietas non ignorat) idcirco negabimus quod erat. Sed nos credimus, & profitemur, & prædicamus, Deum Verbum, vnigenitumque Dei Filium, qui ſæcula omnia antecedebat, propter ſuam erga nos benignitatem, immenſamque bonitatem, hominem perfectum, nobiſq; per omnia ſimilem (peccato tantum excepto) effectum eſſe; id ipſum quod erat, non amittens, modo quem ſolus ipſe nouit, ex ſancta virgine Maria pro ſalute humani generis natum eſſe.

II.

Ob hoc verum dogma in ſanctiſſima Dei eccleſia ſincere prædicatum, Paulumque hæreticum iure optimo eiectum, facta ſunt ſchiſmata populorum, perturbatio ſacerdotum, & paſtorum tumultuatio. Quin & hoc ipſo quoque tempore quidam e reuerendiſſimorum ſacerdotum numero Neſtorium, qui obtinet epiſcopatus huius ſedem (ſi tamen epiſcopum vocare fas eſt) eo quod Chriſtum natura verum Deum, ſanctã vero virginem deiparam eſſe obſtinata animi contentione negare pergat, in publico conſeſſu coram non infrequenter corripuerunt, & ab eiuſdem communione deſciuerunt, & in hodiernum vſque diem deſciſcunt; nonnulli clanculum ab illius conſortio ſe ſubduxerunt: alii ex religioſiſſimis preſbyteris, quoniam in hac ſancta eccleſia Irene maritima contra repullulans prauum dogma inuehebantur, dicendi facul-

σὸν τὸν υἱὸν τοῦ θεοῦ, ὅτι ὄντως ἀληθινὸς θεός ἐστιν. οὐ γὰρ, ἐπειδὴ δι' ἡμᾶς ἐγένετο ἄνθρωπος, μείνας ὃ ἦν θεὸς, ὡς καὶ ἡ ὑμετέρα εὐσέβεια διέμαθεν, ἤδη καὶ τὸ, ἦν, ἀρνησόμεθα. ἀλλὰ ἡμεῖς πιστεύομεν, καὶ ὁμολογοῦμεν, καὶ κηρύττομεν, ὅτι ὁ πρὸ τῶν αἰώνων θεὸς λόγος, ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ ὑπάρχων, διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν τὴν πρὸς ἡμᾶς οὖσαν, γέγονεν ἄνθρωπος τέλειος, ὡς εἷς ἐξ ἡμῶν κατὰ πάντα χωρὶς ἁμαρτίας, μείνας ὃ ἦν, θεὸς, διὰ τὴν τοῦ γένους ἡμῶν σωτηρίαν γεννηθεὶς ἐκ τῆς ἁγίας παρθένου Μαρίας, ὡς αὐτὸς οἶδε. Anno Christi 431.

β'.

Τούτου ἕνεκα τοῦ * ἀληθοῦς δόγματος, τοῦ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ * ἀκριβῶς κηρυττομένου, καὶ τοῦ αἱρετικοῦ Παύλου δικαίως ἐξωσθέντος, ἐγένοντο σχίσματα λαῶν, ἀκαταστασίαι ἱερέων, ταραχὴ ποιμένων. ὅθεν καὶ νῦν κατὰ πρόσωπον τοῦ ἐγχειρισθέντος τὸν τῆς ἐπισκοπῆς θρόνον Νεστορίου· εἰ δεῖ εἰπεῖν ἐπίσκοπον· ἐν τῷ συνεδρίῳ πολλάκις τινὲς τῶν εὐλαβεστάτων πρεσβυτέρων ἤλεγξαν αὐτὸν, καὶ διὰ τὴν ἀπείθειαν αὐτοῦ, τὸ μὴ λέγειν θεοτόκον τὴν ἁγίαν παρθένον, καὶ θεὸν ὄντα φύσει ἀληθινὸν τὸν Χριστὸν, τῆς αὐτοῦ κοινωνίας ἑαυτοὺς ἐξέβαλον, καὶ κατέχουσιν ἕως ἄρτι· τινὲς δὲ λάθρα ὁμοίως τῆς αὐτοῦ κοινωνίας στέλλονται. ἄλλοι δὲ τῶν εὐλαβεστάτων πρεσβυτέρων, διὰ τὸ λέγειν ἐν τῇ ἁγίᾳ ταύτῃ ἐκκλησίᾳ, Εἰρήνῃ τῇ παραθαλασσίᾳ, κατὰ τοῦ ἀνανεωθέντος κακῶς δόγματος, τοῦ λέγειν ἐκωλύ-

ANNO CHRISTI 431.

ἐκωλύθησαν. ὅθεν ἐπεβόα ὁ λαός, ζητῶν τῆς ὀρθοδοξίας συνήθη διδασκαλίαν, λέγων· βασιλέα ἔχομεν, ἐπίσκοπον οὐκ ἔχομεν. καὶ τέως μὲν *ἀνεκδίκητον ἔμεινε τὸ τοῦ λαοῦ παράγγελον, τοῦ συλληφθέντος ἐκ μέρους παρὰ τῶν ὑπηρετῶν, καὶ ἐν τῷ δικανικῷ τυπηθέντος διαφόρως ἐν πόλει βασιλευούσῃ· ἃ οὔτε ἐν τοῖς ἔθνεσι τοῖς βαρβαρικοῖς ἐγένετο. τινὲς κατὰ πρόσωπον ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἐπὶ λαοῦ ἤλεγξαν, καὶ θλίψιν οὐ μικρὰν ὑπέμειναν. τὸν δὲ ἀφελέστερον τις μοναζόντων ἠναγκάσθη κατὰ ζῆλον, ἀνὰ μέσον τῆς ἐκκλησίας, τὸν κήρυκα τῆς ἀνομίας ἐπισχεῖν τοῦ μὴ εἰσελθεῖν, συνάξεως οὔσης, αἱρετικοῦ αὐτοῦ ὄντος. τοῦτον δὲ τυπήσας, τοῖς μεγαλοπρεπεστάτοις ἐπάρχοις παρέδωκεν. ἔτι δὲ τυπηθέντα, καὶ πομπευθέντα δημοσίᾳ, τοῦ κήρυκος βοῶντος ἔμπροσθεν αὐτοῦ, τῇ ἐξορίᾳ παρέπεμψεν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, μετὰ τὴν ἀθέμιτον αὐτοῦ ὁμιλίαν, οἱ τῆς φατρίας αὐτοῦ τοῦ κατέχοντος, φόνον ἔμελλον ποιεῖν, εἰ μὴ ἡ τοῦ θεοῦ βοήθεια κατέλαβε.

* ἴσ. οὐκ ἀνεκδίκητον

γ'.

Τὰ περὶ ἡμῶν δύσπιστά ἐστι τάχα πολλοῖς τοῖς ἀκούουσι. κατὰ γὰρ κέλευσιν αὐτοῦ καὶ προτροπὴν ἀνήλθομεν ἐν τῷ ἐπισκοπείῳ πληροφορηθῆναι, εἰ καθὼς ἐνοήσαμεν, ἃ περὶ αὐτοῦ ἠκούσαμεν, ἐστὶν, ἢ οὔ. καὶ εἰς ὑπέρθεσιν δεύτερον καὶ τρίτον ἡμᾶς ἔβαλε· καὶ τότε μόλις ἐκέλευσεν ἡμῖν εἰπεῖν, τί ἐστιν ὃ βουλόμεθα. ὡς δὲ ἤκουσε παρ'

tate priuati ſunt. Vnde accidit, vt populus vſitatam fidei prædicationem requirens, publice inclamaret: Imperatorem habemus, epiſcopum non habemus. Verum hic populi conatus non manſit impunis. Pars namque a miniſtris comprehenſa, atque ad tribunal abſtracta, tali immanitate diuerberata exceptaq; eſt in regia ciuitate, qualis ne apud barbaras quidem nationes quandoque vſitata fuit. Non defuerunt qui populo præſente & audiente in ſanctiſſima eccleſia coram illi reclamarent; ſed non citra grauiſſima incommoda, quæ ea de cauſa pertulerunt. Denique ſimplex quidam monachus, zelo vehementi inſtigatus, in medium eccleſiæ progreſſus, cum ſynaxis celebraretur, impietatis præconem, quod hæreticus eſſet, ab ingreſſu prohibere conatus eſt. Sed hunc ille cæſum magnificis præſidibus tradidit; flagriſque denuo diſſectum, & publice cæſum, præcone non abſque clamore præeunte, in exilium expulit. Neq; tragœdia hæc hiſce finibus conſtitit. Etenim qui partes ſequuntur omnia per vim agentis, poſt impiam illius concionem, niſi Deus prohibuiſſet, in ipſamet ſacroſancta Dei eccleſia cædem edituri erant.

III.

Porro autem iis quæ ab illo perpeſſi ſumus, multi fortaſſe fidem non habebunt. Etenim quo perfecte edoceremur, verane ea eſſent, an falſa, quæ de eo acceperamus, in epiſcopale palatium illius iuſſu hortatuque conſcendimus. Semel autem atq; iterum in aliud tempus reiecti, vix tandem prodiens: Quæ, inquit, vultis, ea paucis exponite. Poſteaquam vero ex

nobis audiuit, quæ docuerat; ſcilicet, Mariam nihil aliud peperiſſe quam hominem ſibi coeſſentialem; nihil rurſum ex carne naſci poſſe, niſi carnem; ea rectæ fidei conſentanea non eſſe, ſtatim nos capi iuſſit: inde cædente nos turba ſatellitum, ad tribunal abducimur, ibidemque veluti nequã ſcelerati, denudamur, denudatique & vincti indignis modis ad palum, & ſtrati vapulamus, calcibuſque impetimur. Denique eiuſmodi nos in eccleſia iniuſte ab iniuſto illo perpeſſi ſumus, quæ ne infimæ quidem ſortis homines experiuntur in foro ciuili, non dico clerici, & monachi, & archimandritæ. Ceterum diu multumque ibi diuexati, fameque tabeſcentes, ſub cuſtodia non modico tempore fuimus aſſeruati. Neque illius furiæ his contentæ conquieuerunt; verum per quamdam impoſturam magnificentiſſimo celeberrimæ ciuitatis huius præfecto traditi ſumus. Ferroque onuſti ad carcerem abſtrahimur: hinc iterum extracti, catenisque vt ante impediti, prætorio ſiſtimur. Cumque ibidem nullus plane qui nos accuſaret, præſto foret, rurſum ad reorum locum a ſatellitibus reducimur; hucque reducti, denuo ab illo in faciem cædimur. Denique compoſita oratione per fraudem aſſenſus eſt, vt poſtea patuit, de naturali Dei Filio, quod natus ſit de ſancta Maria deipara: addens quoniam eſt etiam alius filius. atque in hunc modum tandem nos dimiſit.

IV.

Quamobrem iterum atque iterum immortalem piiſſimamque fidem veſtram obteſtamur, ne orthodoxam eccleſiam ortho-

ἡμῶν, ὅτι ταῦτα τὰ παρ' αὐτοῦ λεχθέντα, τὸ, οὐκ ἔτεκε, φησὶ, Μαρία, εἰ μὴ ἄνθρωπον ὁμοούσιον ἑαυτῆς· καὶ τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστιν, οὐκ ἐστιν ὀρθοδόξων· παραχρῆμα ἐκέλευσε συλληφθῆναι ἡμᾶς· κἀκεῖθεν τυπτόμενοι παρὰ τοῦ ὄχλου τῶν * δικανῶν, ἀπηγόμεθα ἐν τῷ δικανικῷ· κἀκεῖ γυμνοὺς ἡμᾶς δεσμίους, ὡς καὶ ὑπευθύνους τῇ τιμωρίᾳ * ἐξύλισαν, ἐκρεβάτισαν, καὶ ἐπτέρνισαν. ὅπερ οὐ πάσχουσιν ἐν τοῖς ἔξω δικαστηρίοις, οὐ λέγομεν ὅτι κληρικοὶ καὶ ἀρχιμανδρῖται, ἢ μονάζοντες, ἀλλ' οὔτε οἱ τυχόντες κοσμικοί, ὃ ἡμεῖς ἐν τῇ ἐκκλησίᾳ παρὰ τοῦ παρανόμου παρανόμως πεπόνθαμεν. θλιβόμενοι ἐν τῷ δικανικῷ, λιμώττοντες, ἐν * οἰκετείᾳ φυλαττόμενοι ἐπὶ χρόνον πολὺν διετελέσαμεν. καὶ οὐκ ἠρκέσθη τούτοις ἡ αὐτοῦ μανία· ἀλλὰ καὶ μετὰ ταῦτα τῷ μεγαλοπρεπεστάτῳ ἐπάρχῳ τῆσδε τῆς μεγαλωνύμου πόλεως κατ' ἀπάτην τινὰ παρεδόθημεν, καὶ σιδηρωθέντες ἀπήχθημεν ἐν τῇ φυλακῇ, καὶ μετὰ ταῦτα αὖθις ἤχθημεν ἐν τῷ πραιτωρίῳ τῷ αὐτῷ τρόπῳ μετὰ τῶν δεσμῶν. καὶ ἐπειδὴ οὐδεὶς ἦν ὁ κατηγορῶν, ἐν τῷ δικανικῷ πάλιν διὰ τῆς τάξεως ἤχθημεν. καὶ οὕτω πάλιν * ἐκόλασεν ἡμᾶς κατὰ πρόσωπον τυπτήσας· καὶ διαλεχθεὶς, καὶ συνθέμενος κατ' ἀπάτην, ὡς τὰ μετὰ ταῦτα ἔδειξε, περὶ τοῦ φύσει υἱοῦ τοῦ θεοῦ, ὅτι ἐτέχθη ἀπὸ τῆς ἁγίας Μαρίας τῆς θεοτόκου λέγων· ἐπεὶ ἔνι ἄλλος υἱός· οὕτως ἀπέλυσεν ἡμᾶς.

δ'.

Παρακαλοῦμεν οὖν τὴν ἀθάνατον ὑμῶν καὶ εὐσεβεστάτην πίστιν, ὥστε μὴ παριδεῖν ἐκ τοῦ λοιποῦ τὴν

Anno Christi 431.

ANNO CHRISTI 431.

ὀρθόδοξον ἐκκλησίαν μοιχευομένην παρὰ αἱρετικῶν ἐν τοῖς καιροῖς ὑμῶν τῶν ὀρθοδόξων καὶ εὐσεβεστάτων βασιλέων· οὐχ ὡς διὰ τοῦτο τὰς ἡμετέρας ὕβρεις βουλόμενοι ἐκδικεῖν· ὁ θεὸς οἶδεν· ἀλλ᾽ ὡς θέλοντες τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ἀσάλευτον μένειν. καὶ κελεύσῃ τὸ ὑμέτερον κράτος, τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον παραγενέσθαι ἐνταῦθα ἤδη· ἵνα τῆς συνόδου παραγενομένης, τὴν ἁγιωτάτην ἐκκλησίαν ὁ* θεὸς ἑνώσῃ, καὶ τὸν λαὸν συνάξῃ, καὶ τοὺς ἱερέας ἀπολαβεῖν ἐν τῷ τῆς ἀληθινῆς πίστεως κηρύγματι ποιήσῃ, πρὸ τοῦ εἰς πλάτος τὴν ἄδικον διδασκαλίαν ἐλθεῖν. κἀκεῖνο δὴ παρακαλοῦμεν, ἀξιοῦντες, ἐπειδὴ πειρᾶται ποιεῖν, ἀπειλῶν, ἐλαύνων, ἐξωθῶν, κακουργῶν, ῥᾳδιουργῶν, καὶ κακῶν, καὶ ἵνα τὴν αὐτοῦ μανίαν καὶ ἀσέβειαν κρατύνῃ, πάντα ποιῶν ἀφειδῶς, οὐ θεὸν φοβούμενος, οὐκ ἀνθρώποις αἰσχυνόμενος, οὐκ ἐπισκόποις εὐλαβούμενος, οὔτε ἱερέα τινὰ, οὐ κλῆρόν τινων, οὐχ ἁγίοις μοναχοὺς, οὐκ εὐλάβειαν λαϊκῶν, οὐ τὸν κατὰ τῶν ἀδικούντων ἐπηρτημένον φόβον, οὐ τὸν νόμον τῶν ἐκτελούντων διακονίαν τινὰ θεοῦ εἰς ὀργὴν κατὰ τῶν ἀξίων, ἀλλ᾽ ἐνδυσάμενος τὴν ὑπεροψίαν κατὰ πάντων, θαῤῥῶν τοῖς χρήμασι, καὶ τινων διεφθαρμένων τῇ ἰσχύϊ, ἢ ἵνα ἀφόβως εἴπωμεν, καὶ τῷ ὑμετέρῳ κράτει, ταῦτα ποιεῖ· ἀξιοῦμεν μηδὲν αὐτῷ κατά τινων ἐξεῖναι ποιεῖν, ἐὰν μὴ πρότερον διόρθωσιν λάβῃ τὰ κατὰ τὴν ὀρθόδοξον πίστιν, ἵνα μὴ ταύτην διασκεδάσῃ, καὶ τὴν αὐτοῦ παρεισαγάγῃ ταῦτα ποιῶν. οἶδε γὰρ

*Χριστὸς

doxi piissimique regni vestri temporibus ab hæreticis adulterari vltra permittatis. Non expetimus contumelias indigne nobis illatas vindicari; Deus nouit: desideramus autē Christianæ fidei fundamentum inconcussum immotumque persistere. Vestra proinde maiestas efficiat vt sacra & œcumenica Synodus primo quoq; tempore huc coeat; quo hac præsente Christus sanctissimā ecclesiam vniat, populumque in vnum reducat, ac sacerdotes sinceræ fidei prædicatores, priusquam impia illa doctrina latius serpat, loco suo restituat. Illud etiam obnixe precamur ac petimus, quādoquidem Nestorius comminationibus, insectationibus, exiliis, callidis prauisque machinationibus perterrefacere molitur; & quo suam insaniam, suamque impietatem confirmatiorem reddat, quæcumque excogitari possunt sine discrimine aggreditur; nō Deum timet, nullum hominem veretur, nullum episcopū veneratur, nullum sacerdotem, aut clericum, aut sanctum monachum, aut religiosum laicum honorat; nullam pœnam iniquis decretam formidat, nullam denique legem ministrorum iræ diuinæ in eius prouocatores: sed superbia, qua omnes paruipendit, elatus, pecuniisque & corruptorum quorumdam hominum potentia fretus; &, vt libere quod res est dicamus, vestra quoque dominatione fretus hæc facit: Petimus, inquam, ne quidquam deinceps in quempiam illi liceat, nisi primum orthodoxæ fidei veritas enucleetur: ne, quod obnixe studet, hac penitus dissipata euersaque suam paulatim introducat. Animaduertit enim,

quos alia ratione non poteſt, eos timore a fide auertere ſe poſſe: vt ſuæ ſententiæ ſemel adiunctos ita inflammet, vt verbera quoque quibus libitum fuerit publice inferre audeant, & perſecutionem excitare non dubitent. Neque vero ſuorum tantum, aut domeſticorum opera clericorum eam ad rem vtitur, verum quorumdam quoque ab exteris parœciis & diœceſibus adſcitorũ; quibus tamen ſecundum eccleſiaſticos Canones in alieno epiſcopatu vel eccleſia degere non licet, ſed neceſſario in iis locis & ciuitatibus, idque quiete, in quibus ordinati ſunt: ne moræ diuturnitate, temporaneaque potentia nequitiam ſuam latius propaget, vobiſque id adſcribatur, quos ob id in miniſtros Deus aſſumpſit, vt illius gloriam ſtrenue propugnetis, qui illuſtri honore vos cumulauit, & cumulat; vobiſque cum omnibus ſanctis, qui munus ſuum præclare obierunt, mercedem tempore ſuo reddet. Quibus & illud quoque dicturus eſt: *Euge, ſerue bone & fidelis; ſuper pauca fuiſti fidelis, ſuper multa te conſtituam: intra in gaudium Domini tui.* Qui veri Chriſtiani ſunt, ii per opera, quãtum Chriſtianæ doctrinæ tribuant, oſtendunt. At vero infideles & abiecti, qui ventri ſuo viuunt, & ad hunc ſcopum omnia ſua ſtudia referunt, illi, ſi quem Chriſtũ Deum eſſe profiteri audierint, illico diſſecantur. Et quemadmodum Iudæi, ſancto Stephano protomartyre narrante: *Ecce video cælo apertos, & Filium hominis ſtantem a dextris inuiſibilis Dei;* aures ſuas continebant: ita & iſti quoque in Chriſtianos dentibus

Matth. 25. v. 23.

Act. 7. v. 57.

ὡς οἴεται, ὅτι κἂν τῷ φόβῳ πολλοὺς ἀμβλυώσας ἀποστήσῃ τῆς πίστεως· καὶ λοιπὸν εὐθὺς ὁμογνώμονας αὐτοῦ, παράσχῃ αὐτοῖς θάρσος, ὥστε καὶ ἕως πληγῶν δημοσίᾳ ἐπιχειρεῖν, καὶ διωγμὸν ποιεῖν. οὐ μόνον δὲ τῶν αὐτοῦ ἔνδοθεν κληρικοῖς, ἢ συγκέλλοις, ἀλλὰ καὶ ἐκ τῶν ἔξωθεν παροικιῶν προσελάβετό τινας, οἷς μάλιστα οὐκ ἔξεστιν εἶναι κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας εἰς ἕτερον ἐπισκοπεῖον, ἢ εἰς ἄλλην ἐκκλησίαν, ἀλλ᾽ ἀνάγκη αὐτοὺς εἰς τὰς ἰδίας παροικίας, ἢ πόλεις, ὅπου ἐχειροτονήθησαν, κἀκεῖ ἡσυχῇ διάγειν· ἵνα μὴ τῷ μακρῷ χρόνῳ διὰ τῆς προσκαίρου δυναστείας, ἕρψῃ περαιτέρω ἡ παρανομία, καὶ ἐπιγραφῇ τῇ ὑμετέρᾳ εὐσεβείᾳ. εἰς τοῦτο γὰρ ὑμᾶς ἔθετο ὁ θεὸς διακόνους, ὑπὲρ τῆς δόξης αὐτοῦ τοῦ δοξάσαντος ὑμᾶς, καὶ δοξάζοντος, καὶ ἀποδιδόντος ὑμῖν τὸν μισθὸν μετὰ πάντων τῶν ἁγίων, τῶν καλῶς φυλαξάντων τὰς ἐγχειρισθείσας αὐτοῖς διακονίας. πρὸς οὓς εἶπεν· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. οἱ ὄντως χριστιανοὶ τούτοις τοῖς λόγοις διὰ τῶν ἔργων πιστεύουσιν· οἱ δὲ ἄπιστοι καὶ ἀπερριμμένοι, καὶ τῇ ἑαυτῶν κοιλίᾳ ζῶντες, καὶ εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες, ἐὰν ἀκούσωσιν ὁμολογοῦντά τινα, τὸν Χριστὸν εἶναι θεόν, διαπρίονται, ὡς οἱ τότε Ἰουδαῖοι συνέχον τὰ ὦτα αὐτῶν, τοῦ ἁγίου Στεφάνου τοῦ πρωτομάρτυρος διηγουμένου· ὅτι θεωρῶ, φησί, τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ ἀοράτου θεοῦ. οὕτω καὶ οὗτοι διαπρίονται κατὰ τῶν χριστιανῶν, καὶ

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

ANNO CHRISTI 431.

πάντα θυμὸν σπουδάζουσιν ἐκτελεῖν.

ϛʹ.

Ἀξιοῦμεν οὖν προνοίᾳ τοῦ μεγαλοπρεπεστάτου ἐπάρχου τῆς νέας Ῥώμης κωλύεσθαι τοὺς κατὰ τῶν ὀρθοδόξων ἐπανισταμένους, καὶ προφάσει δικαιολογιῶν, ὥς φασιν, ἐπιχειροῦντας κατά τινος, ἕως ὅτε τὰ τῆς πίστεως διόρθωσιν λάβοι. εἰ δὲ παρακούσετε, ἡμῶν ἀμελήσαντες, διαμαρτυρόμεθα ὑμῖν ἐνώπιον τοῦ βασιλέως τῶν αἰώνων, ἀφθάρτου, ἀοράτου, μόνου σοφοῦ θεοῦ, τοῦ ἐλθόντος καὶ ἐπιφανέντος, ὡς ἠθέλησε, διὰ τὴν σωτηρίαν ἡμῶν, καὶ πάλιν ἐρχομένου κρῖναι ζῶντας καὶ νεκρούς, ᾧ κάμπτει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται αὐτῷ, ὅτι ἀθῷοι ἐσμέν. ἡμεῖς γὰρ ὑμᾶς παρεκαλέσαμεν περὶ συνόδου οἰκουμενικῆς, τῆς δυναμένης ἀκριβῶς κρατῦναι καὶ διορθῶσαι τὰ σαλευόμενα, εἴπου καταρραγέντα· οὐ κατισχύσουσι δὲ αὐτῆς διὰ τῆς χάριτος καὶ ἀντιλήψεως τοῦ θεοῦ, τῆς ἐνεργούσης ἐν ὑμῖν, κακῶσαι πύλαι ᾅδου, ἅτινά ἐστι τὰ στόματα τῶν αἱρετικῶν· ἵνα τούτου τυχόντες, τὰς συνήθεις εὐχὰς ἐν ὁμονοίᾳ ὑπὲρ τῆς κοινῆς σωτηρίας καὶ τῆς βασιλείας ὑμῶν, εὐαρέστως καὶ ὀρθοδόξως τῷ θεῷ ἀναπέμπωμεν. Ἀμήν.

frendent, omnemque furorem suum in illos explere laborant.

VI.

Rogamus proinde, vt magnificentissimi præfecti nouæ Romæ prouidentia, compescantur ii qui aduersus orthodoxos insurgunt, & sub prætextu quod se defendunt, vt aiunt, non paucis insultant; donec ea omnia quæ ad fidem pertinent componantur. Quod si nostram supplicationem pro nihilo habueritis, vos coram
immortali sæculorum rege, in- *1. Tim. 1. v. 17.*
uisibili, solo sapiente Deo, qui nostræ salutis causa descendit, &, vt voluit, inter homines appa-
ruit, & ad iudicandum viuos & *Actor. 10. v. 42.*
mortuos iterum venturus est; *Phil. 2. v. 10.*
cui omne genu incuruatur, cælestium, terrestrium, & infernorum; & omnis lingua confitetur; innocentiæ nostræ testes appellamus. Nos enim vos de œcumenica Synodo cogenda rogauimus, quæ aptissime posset constabilire & erigere titubantia, siue etiam confracta: quamquam per Dei gratiam, eiusdemque tutelam, quæ in vobis operatur, inferorum portæ, quæ sunt
hæreticorum ora, aduersus fidem *Matth. 16. v. 18.*
nunquam præualebunt, aut euertere illam poterunt. Quo, pace ecclesiæ redintegrata, preces consuetas pro communi omnium salute, vestrique regni incolumitate placide & catholice & concordi animorum consensione ad Deum transmittere liceat. Amen.